γίνεται. Χρόνους δὲ ἱκανοὺς ἐν αὐτῇ κατατρίψας, καὶ πολ-
λὰς ψυχὰς ἀνθρώπων ὁ δείλαιος διαφθείρας, λοιμικῷ θα-
νάτῳ, ἐπενέμετο γὰρ κατὰ τοὺς καιροὺς ἐκείνους ἀφειδῶς
τὸ ἀνθρώπινον, καὶ αὐτὸς ἁλοὺς τὸν βίον κατέστρεψεν, ἐπὶ ἔτη
που τριάκοντα προστάτης τῆς ἀσεβείας γενόμενος. οὗτος οὖν
ὁ τρισαλιτήριος υἱὸν ἐκ σκοτίας μίξεως τὸν Ζαχαρίαν τί-
κτει. Ὃν, ὡς ἔφημεν, ἔνιοι τῶν τὰ Μανιχαίων τιμώντων μισθω-
τόν τε ἡγοῦνται, καὶ τοῦ ποιμένος ἀνάξιον, καὶ τοῦ διδασκαλι-
κοῦ χοροῦ ὑπερόριον. Πλὴν ἀλλὰ γὰρ τοῦ Γενναισίου ἀποφθαρέν-
τος τὸ τῶν μαθητῶν εἰς δύο σχίζεται πλῆθος· καὶ οἱ μὲν
τὸν Ζαχαρίαν ἐπαγγέλλονται, οἱ δὲ τὸν Ἰωσήφ, ὃν καὶ νόθον
τινὲς ἀπεφήμιζον. Στάσεως δὲ πολλῆς μεταξὺ τούτων ἀναῤ-
ῥαγείσης, καὶ τὴν τοῦ πνεύματος ἐνέργειαν, τοῦ μὲν ὅλην οἰκοῦ-
ἐν ἑαυτῷ διαπληκτιζομένου, θατέρου δὲ ἀντισπῶντος ταύτην
εἰς ἑαυτόν, καὶ κενὸν λιπεῖν τὸν ἀντιστασιώτην διατεινομένου.
Ποῖον δ' ἂν εἴη πνεῦμα, ὃ τούτοις ἂν ἐπιφοιτήσειεν, εἰ μὴ ἄρα
τὸ πονηρὸν καὶ ἀκάθαρτον, καὶ τρίτων δοχείων ἄξιον;
Πλὴν τῆς ἔριδος, δι' ὅπερ ἤρηται, κατισχυούσης, καὶ χερσὶ
ἤδη καὶ πληγαῖς κρινομένης, ὑπεραλγήσας ὁ Ζαχαρίας
οἷα δὴ τῆς πατρῴας ἐλαυνόμενος κληρουχίας, παίει τὸν
Ἰωσήφ, ὡς ἐγγὺς θανάτου τὴν πληγὴν ἐλάσαι. Θατέρου δὲ
τῶν στρατηγῶν τῆς ἀποστασίας ἐπὶ γόνυ κλιθέντος, ἔμει-
νε μὲν ἑκατέρα μερὶς σφοδρότερον κατὰ τῆς ἑτέρας ἐπαν-
σταμένη. ἐχθροφυλάκει δὲ τὴν συμπλοκὴν τὸ τέλος ἀμφίβο-
λον ἐννοουμένη τῆς μάχης. Ἐκρίθη δὲ μᾶλλον μετ' ὀλίγον
χρόνον θατέραν ἀπὸ θατέρας διαστῆναι, καὶ μὴ τῷ ἀδή-
λῳ τῆς μάχης καταπιστεύσαντας ἑαυτοὺς πανολεθρίᾳ διαφθα-
ρῆναι. Ἑκατέρου δὲ τμήματος μετὰ τὴν περιφανεστάτην
διάστασιν, οὐχ ὑπ' ἀλλήλων μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν πε-
ριξ ἐξονειδιζομένου τε καὶ διασυρομένου, καὶ εἰς ᾠδὰς

καὶ

l. ἐκαιροφυλάκει